ἐκεῖνον ὀφειλομένου μοίρας τινὸς ἀπότισιν, εἰ καὶ ἄγαν μικράν, ἀφοσιώσασθαι δυνησόμεθα.

Εὐγενίῳ τῷ δι' εὐφήμου μνήμης ἁπανταχοῦ σχεδὸν ἔν τε τοῖς κατ' αὐτόν, καὶ ἐν τοῖς καθ' ἡμᾶς γενομένῳ χρόνοις, πατρὶς ἦν ἡ κατὰ μέσην τὴν πάλαι περίφημον Ἑλλάδα κειμένη Αἰτωλία, ἡ ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος κατὰ τὸν γεωγράφον οὕτως ὀνομασθεῖσα, πόλεων εὐδαιμονίᾳ καὶ πλήθει ἀνδρῶν ἀριθμοῦ κρείττονι κατὰ τοὺς πάλαι χρόνους τῶν Ἑλλήνων κεκοσμημένη, τὸ δέ γε νῦν ἔχον, τῶν ἄλλων, πλὴν τῆς Ναυπάκτου, ἥτις καὶ προκαθεζομένη πασῶν, καὶ ὅρος τῆς ἐπαρχίας πάσης ἐν τοῖς μετέπειτα χρόνοις (καὶ νῦν εἰσέτι) διατετέλεκεν, οὐδὲ μιᾶς ἀπολειπομένης· πᾶσαι γὰρ ὑπὸ τοῦ χρόνου καὶ τῶν συνεχῶν πολέμων, ἀνάστατοι καὶ κατηδαφισμέναι γεγόνασι, μάλιστα δὲ αἱ ὑπὸ Δημητρίου πολιορκηθεῖσαι τοῦ ἐπικληθέντος Αἰτωλικοῦ· κῶμαι δέ τινες μόναι εἰσὶν ἀπολελειμμέναι, λίαν συνεσταλμέναι· δύο μὲν αὗται κατὰ μεσόγαιον Ζαπάντη καὶ Βραχώρη βαρβαρικῶς οὕτω καλούμεναι, δύο δὲ κατὰ θάλατταν, ἡ μὲν Ἀνατωλικὸν (ὡς τῇ ἄνω Αἰτωλίᾳ, εἰ οὕτως ἐτυμολογηθείη, συναπτόμενον) καλουμένη, πρότερον μὲν παραθαλάσσιος οὖσα, ὡς ἔστιν ἰδεῖν ἐκ τῶν φαινομένων αὐτῆς ἰχνῶν ἥτις ἐγχωρίως Ἔξω Χώρα καλεῖται, τανῦν δὲ ἐπὶ λυπρᾶς τινος καὶ βραχείας νήσου κειμένη· ἡ δέ, Μεσολόγκιον οὕτω καλεῖται, καὶ τὴν θέσιν ἔχει παρὰ τὴν θάλατταν· μέσον δὲ τῶν τεττάρων τούτων κωμῶν, καὶ φρούριόν τι ἐπὶ περιωπῆς τινος κεῖται τὴν τοῦ Ἀγγέλου κλῆσιν ἐπιφερόμενον, καὶ Ἀγγελόκαστρον οὕτω καλούμενον, Ἀγγέλου οἶμαι κτίσμα τοῦ Κομνηνοῦ· καὶ τούτου τὸ πλεῖστον μέρος ἐρείπιον, καὶ παντάπασιν ἠρημωμένον, ἐκ θατέρου δὲ μόνον μέρους τῶν ὑπὸ κάτωθεν ὀλίγων οἴκων περιγραφῇ κυκλούμενον, καὶ ἀγροῦ σχῆμα διασῶζον.

Τὰ δὲ λοιπὰ ταύτης μέρη ἀγροί τινες εἰσιν, ἀπὸ τοῦ Ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ